somehow or other—ἀμῶς γέ πως.
partly—τὸ μὲν τὸ δ’ οὔ.
not only …but also, for one thing …for another—ἅμα μὲν …ἅμα δὲ.

to say yes[17] (no) to a question { ὁμολογεῖν τὰ ἐρωτώμενα. / ἔξαρνος εἶναι τὰ ἐρωτώμενα.
with few exceptions—ὡς ἐπὶ τὸ πλῆθος (τὸ πολύ).
there is one alternative—ἔτι ἓν λείπεται.
for your sake—σὴν χάριν.
to the best of my power—εἰς δύναμιν

IX EMOTIONS, CHARACTER.

DESPAIR—FEAR.

despondency—τὸ ἄθυμον[18] (τῆς γνώμης).
in utter despair—ἀπογνόντες ἅπαντα.
they were despondent and retreated—
(ἅτε) ἀθυμοῦντες
διὰ τὴν ἀθυμίαν
πολλῇ ἀθυμίᾳ
διὰ τὸ ἀθυμεῖν
διὰ το ἄθυμον τῆς γνώμης
ἐν ᾧ ἠθύμουν
ἀθύμως ἔχοντες
δι᾽ ἀθυμίας ἐλθόντες
εἰς τοσοῦτο ἀθυμίας ἦλθον ὥστε
ἅτε οὐδαμῶς εὐθυμοῦντες
} ἀπεχώρησαν.
they lost heart—ἥττηντο ταῖς γνώμαις.
worn out—κόπῳ ἑαλωκότες, ἀπειρηκώς, ἀπειπών.
to be broken in spirit—ἐπικλασθῆναι τῇ γνώμῃ.
makes him despondent—ἀθυμίαν αὐτῷ παρέχει.
" with his tail between his legs "—ὥσπερ ὄνοι τὰ ὦτα ἐπὶ τῶν ὤμων ἔχοντες (*Plat.*)
his success has begun to cause disaffection—τὸ εὖ πράττειν ἀφορμὴ τοῦ κακῶς φρονεῖν γίγνεται.

---

[17]For answers in dialogue, cf. δῆλον ὅτι ; μάλιστα certainly ; ἥκιστά γε ; πάνυ μὲν οὖν ; πῶς γὰρ οὔ ; παντάπασί γε ; πάνυ γε ; τί μήν, of course ; ἔμοιγε δοκεῖ ; πάντως δήπου ; ἔοικεν, it seems so ; φαίνεται ; κινδυνεύει, it seems probable, perhaps ; ἔστι γάρ ; ναί, yes ; οὐ δῆτα, οὐδαμῶς, not at all ; ἀληθῆ, καλῶς λέγεις.

[18]For the substitution of neuter participles and adjectives for substantive ideas, cf. τὸ φιλότιμον, ambition ; τὸ φιλόπολι, patriotism ; τὸ θαρσοῦν courage ; τὸ ὀργιζόμενον τῆς γνώμης, indignation ; τὸ ἀνειμένον τῆς γνώμης, vacillation ; τὸ ἄπραγμον, inactive people ; τὸ δραστήριον, vigorous people ; τὸ Ἑλληνικόν, the Greeks ; τὸ ἐπικουρικόν, the auxiliary forces ; τὸ τοῦ πολέμου, the war.

he could not decide on his course of action—ἀπόρως εἶχε τί χρῷτο τῷ πράγματι.
to be doubtful—ἀμφιγνοεῖν, διστάζειν.
to regard as doubtful—ἐς ἀμφίβολον θέσθαι.
to be at a loss, embarrassed—ἀπορεῖν, ἀπορίᾳ συνέχεσθαι.
to recover self-possession—ἐν ἑαυτῷ γίγνεσθαι, ἐμαυτὸν συναγείρω.
I was no longer embarrassed—ἡ θρασύτης μοι συνηγείρετο (*Plat.*)
if it does not seem too incredible to say so—μὴ λίαν παράδοξον ᾖ εἰπεῖν.
sufferings too deep for tears—μείζω ἢ κατὰ δάκρυα πεπονθέναι.
to terrify—ἐς ἔκπληξιν καθιστάναι.
they are in a dying fright of such expeditions—τεθνᾶσι τῷ δέει τοὺς τοιούτους ἀποστόλους.
to be apprehensive of—ὀῤῥωδεῖν (*Thuc.*)
the citizens as individuals are prosperous, the city as a community is not so—καθ’ ἕκαστον τῶν πολιτῶν εὐπραγεῖν ἡ πόλις, ἀθρόα δὲ σφάλλεται.
they changed,—as a mob usually does—μετέβαλον τὰς γνώμας,—ὅπερ φιλεῖ ὅμιλος ποιεῖν.
they changed their opinions—ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας, ἠλλοίωντο τὰς γνώμας.
they regretted they had rejected the truce—μετεμέλοντο τὰς σπονδὰς οὐ δεξάμενοι.
they surpass themselves in courage—θαρσαλεώτεροί εἰσιν ἑαυτῶν.
to be laughed at—γελᾶσθαι, γέλωτα ὀφλισκάνειν ἐπί τινι.
what makes you forbid this ?—τί παθὼν ἀπαγορεύεις τοῦτο ;

DISPOSITION—TEMPER.

your bitter and fierce disposition—τὸ τῆς διανοίας πικρὸν καὶ ἄγριον.
rash and headstrong nature—θρασύτης καὶ προπέτεια.
to act moderately—μετριάζειν.
it is human nature to tyrannise over the weak—πέφυκε τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν τοῦ εἴκοντος.
orderly behaviour—τὸ εὔκοσμον.
modest—προσεσταλμένος (*Plat.*)
to be angry—δυσκολῶς ἔχειν, ἐν ὀργῇ ποιεῖσθαι (*Dem.*), δι’ ὀργῆς ἔχειν τινά, ὀργίλως ἔχειν τινί, θυμοῦσθαι, ὀργίζεσθαι.
to inflict blows on—πληγὰς ἐντείνειν τινί.

besides the insults I sustained—χωρὶς ὧν ὑβρίσθην.
the victim of many outrages—ἄλλα πολλὰ και βίαια παθών.
to behave insolently on every occasion—ἀσελγείᾳ χρῆσθαι πρὸς ἅπαντας ἀεί.
to be at variance with—διαβεβλημένος εἶναι πρὸς (*Arist.*), διαφόρως ἔχειν πρὸς.
to blame, rebuke—ἐν αἰτίᾳ ἔχειν τινά, ἐπιτιμᾶν τινι (*Dem.*), ἐπιπλήττειν.
to be liable to an imputation—αἰτίαν ἔχειν.
to behave in hostile (friendly) fashion to—ἐχθρῶς (φιλικῶς) προσφέρεσθαι, διακεῖσθαι, πρὸς ; cf. φίλον ἐμαυτὸν παρέχω.
to despise—ἐν ὀλιγωρίᾳ ποιεῖσθαί τινα.
to depreciate—ψέγειν, καταμέμφεσθαι, διασύρειν.
to esteem—περὶ παντὸς ποιεῖσθαι.
to be grateful—χάριν τινὶ ἔχειν, εἰδέναι.
to serve—διακονεῖν, ὑπηρετεῖν, ὑπουργεῖν, μισθοφορεῖν, δουλεύειν.
to intend—ἐν νῷ ἔχειν, ἐπινοεῖν, διανοεῖσθαι, γνώμην, διάνοιαν ἔχειν.
it occurs to me to ...παρίσταταί μοι ...(inf.) (*Dem.*)
to be vexed—δυσχερῶς ἔχειν, δυσχεραίνειν, δυσανασχετεῖν.
to suspect—ὑποπτεύειν, ὕποπτος γένεσθαι, ὑποτοπεύειν, ὑφορᾶν.
to admire—ἄγαμαι (*Plat.*)
to court, flatter—θωπεύειν, κολακεύειν.
to be careful—εὐλαβεῖσθαι.
to dissemble—ὑποστέλλεσθαι.
a rational man—ὁ λόγον ἔχων.
eccentric people—οἱ ἀλλόκοτοι (*Plat.*)
sensible people—οἱ νοῦν ἔχοντες ; cf. νουνεχόντως.
to enjoy brilliant success—τύχῃ λαμπρᾷ χρῆσθαι.
to be unfortunate—συμφοραῖς περιπεσεῖν, κακοπαθεῖν καὶ ἀτυχεῖν τὰ μέγιστα.
puffed up by success—τῷ ὀρθουμένῳ ἐπαιρόμενος.
he does not succeed in ...—οὐ προχωρεῖ αὐτῷ.
wanting in feeling—ἀναίσθητος ; cf. ἀναλγησία.
he sympathised with me in my undeserved distress—σφόδρα ἐσπούδασεν ἐφ' οἷς ἠδικημένῳ μοι συνῄδει.
versatility—εὐτραπελία, τὸ εὐτράπελον.
foolish and somewhat flippant—εὐήθης καὶ ὑπό τι ἀσεβής.
to consider fools those who gave their lives for freedom—τῶν ὕπερ τῆς ἐλευθερίας τελευτήσαντων παράνοιαν καταγνῶναι.

ABILITY—REFINEMENT.

a gentle man—γεννάδας τις καὶ πρᾶος.
men of refinement—οἱ χαρίεντες.
lack of education—ἀπαιδευσία.
to be very circumspect about—πολλὴν περιωπήν τινος ποιεῖσθαι.
shrewd—ἀγχίνους.
conservative—φυλακτικός.
vulgarity and want of taste—βαναυσία καὶ ἀπειροκαλία.
anybody, ordinary—ὁ τυχών.
average mortals—οἱ πολλοί.
extraordinary—οἱ περισσοί.
inconsistent and volatile—ποικίλος τις καὶ εὐμετάβολος.
any one can do ...—παντός ἐστι τὸ ...(inf.)
men of respectable ability—οἱ σπουδαῖοι (opp. φαῦλος).
individual character—τὸ αὐτοφυὲς ἑκάστου.
those who are incapable of excellence—οἱ πεπηρωμένοι πρὸς ἀρετήν.
one of the ablest men of his day—ξύνεσιν οὐδενὸς τῶν ἐφ’ ἑαυτοῦ λειπόμενος.
uniting power to his natural common-sense—γενόμενος μετὰ τοῦ ξυνετοῦ καὶ δυνατός.
men of administrative ability—οἱ πράγμασι χρῆσθαι ἐπιστάμενοι.
vigorous all round—δραστήριος ἐς τὰ πάντα.
disagreeable in society—βαρὺς τοῖς συνοῦσι, χαλεπὸς συγγενέσθαι.
to be troublesome—πράγματα παρέχειν.
in jest and earnest—μετά τε παιδίας καὶ σπουδῆς.
to have little common-sense—σμικρὸν νοῦν κεκτῆσθαι.
a one-sided man—τὴν φύσιν μονόκωλον ἔχειν (*Arist.*)
they were now less sensitive to their individual losses—ἀμβλύτεροι ἤδη περὶ τὰ οἰκεῖα σφάλματα ὄντες.
masterly in power of conception and power of expression—κράτιστος ἐνθυμηθῆναι γενόμενος καὶ ἃ γνοίη εἰπεῖν.
the whole Greek world was in suspense—πᾶσα ἡ Ἕλλας μετέωρος ἦν.
the majority were angry with the Athenians—οὕτως ὀργῇ εἶχον οἱ πλείους τοὺς Ἀθηναίους (so ἐν ὀργῇ ἔχειν).
the most prominent men in Greece—πασῶν τῶν πόλεων οἱ μάλιστα ἐν τέλει καὶ ἀξιολογώτατοι.
they were very much vexed at having to desert their homes—ἐβαρύνοντο καὶ χαλεπῶς ἔφερον οἰκίας καταλιπόντες ; cf.

χαλεπαίνειν.
the land being still unharmed by plunderers—τῆς γῆς ἔτι ἀκεραίου οὔσης.

X VIRTUE AND VICE.

we should all run away from intemperance—ἀκολασίαν φευκτέον ὡς ἔχει ποδῶν ἕκαστος (*Plat.*)
hereditary virtues—αἱ προσήκουσαι ἀρεταί.
to make excuses—σκήπτεσθαί τι.
to have recourse to excuses—εἰς προφάσεις καὶ σκήψεις καταφεύγειν.
to deceive—παρακρούειν καὶ φενακίζειν.
there is nothing sound about him—ἐν αὐτῷ οὐχ ὁτιοῦν ἔσθ' ὑγιές.
a man of unimpeachable veracity—ἀνὴρ οὐδαμῶς οἷός τε ψεύδεσθαι.
to persuade by deceitful means—ἀπάταις καὶ ψευδολογίαις χρώμενος πείθειν.
I am not posing and pretending in the face of recent events—οὐκ ἐπὶ τοῖς συμβεβηκόσι πλάττομαι καὶ προσποιοῦμαι.
he pretended to be grieved—ὀδύρεσθαι δὴ προσεποιεῖτο.
to be allured by …—δελεάζεσθαι ὑπὸ.
to make specious, alluring proposals—ἐφολκά, ἐπαγωγὰ (καὶ οὐ τὰ ὄντα) λέγειν.
more specious than true—προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληθέστερον.
ostensibly …really—πρόφασιν μὲν …τὸ δὲ ἀληθὲς.
to pursue one's private advantages—ἐπὶ τὸ λυσιτελοῦν αὑτοῖς ἕκαστοι χωροῦσιν.
to be selfish—πολλὰ ἰδίᾳ πλεονεκτῆσαι.
to meddle—κινεῖν τὰ ἀκίνητα, περισσὰ πράσσειν.
to mould, oneself to a worse type—αὑτὸν ἐκμάττειν τε καὶ ἐνιστάναι εἰς τοὺς τῶν κακιόνων τύπος (*Plat.*)
your own deficiencies—τὰ καθ' ὑμᾶς ἐλλείμματα.
the man who said this was a worthless casuist and shall smart for it—πονηροῦ ταῦτ' ἐστὶ σοφίστου καὶ οἰμωξομένου ; cf. κλαίων.
to play the coward—φιλοψυχεῖν.
drunken revellers—οἱ παροινοῦντες.
a foot-pad, cut-purse—λωποδύτης.
a burglar—τοιχώρυχος.
sacrilege—ἱερῶν κλοπαί.

XI RELIGION.

worship of the gods, religion—ἡ τῶν θεῶν θεραπεία, τὰ ἱερά, τὰ θεῖα,[19] θρησκεία.
by God's will—σὺν Θεῷ, οὐκ ἄνευ θεοῦ.
to be religions—εὐσεβεῖν περὶ τοὺς θεούς.
religious liberty—ἡ ἐλευθερία ἡ περὶ τὰ θεῖα.
a teacher of religion—ὁ τῶν θείων διδάσκαλος, ἱερολόγος, ἱεροφάντης.
religious mysteries—αἱ τελεταί.
you have several claims on Heaven's favour—πολλὰς ἀφορμὰς εἰς τὸ τὴν παρὰ θεῶν εὔνοιαν ἔχειν κεκτῆσθε.
as an act of religion—τοῦ θείου χάριν.
to keep a birthday feast—τὰ γενέθλια ἑστιᾶν.[20]
to Apollo's temple—εἰς Ἀπόλλωνος.
to dedicate a statue in a temple—εἰς τὸ ἱερὸν ἄγαλμα ἀνατιθέναι.
to set up a bronze statue of a man—Χαλκοῦν τινα ἱστάναι.
to celebrate sacred rites—θεραπεύειν τὰ ἱερά.
the sacrifices before crossing were unfavourable—τὰ διαβατήρια οὐ προὐχώρει αὐτῷ.
from heaven—ἀπὸ τοῦ θείου.
to sacrifice—θύειν, θυσίαν ποιεῖν (ποιεῖσθαι), ἱερεύειν (of the priest).
to say one's prayers—εὐχὰς ποιεῖσθαι, εὔχεσθαι τῷ θεῷ.
my prayer has been heard—εὐξάμενος ἔτυχον ὧν ἐδεήθην.
to pour a libation—σπένδειν.
the oracle ordains—ἀναιρεῖ ὁ θεὸς (c. inf.) ; cf. χρῄζειν, χρησμῳδεῖν.
to consult an oracle—μαντεύεσθαι, χρῆσθαι τῷ θεῷ, ἐρωτᾶν, ἐπέρεσθαι τὸν θεόν, χρηστηριάζεσθαι.
Athena, our tutelary deity—ἡ Ἀθηνὰ ἡ τὴν πόλιν εἰληχυῖα.

XII DOMESTIC LIFE.

domestic arrangements—τὰ ἀμφὶ τὴν δίαιταν.

---

[19] For τὰ θεῖα lit. all we hold sacred, religion, as an abstract, cf. the Thucydidean τὸ φιλόπολι, patriotism ; τὸ φιλότιμον, ambition ; τὸ θυμούμενον τῆς γνώμης, indignation ; τὸ θαρσοῦν, courage ; τὸ ἀστάθμητον τοῦ μέλλοντος, the uncertainty of the future ; &c.

[20] Cf. ἑορτάζειν, θύειν, πανηγυρίζειν τὰ σωτήρια, τὰ μειλίχια, τὰ γαμήλια, τὰ διαβατήρια, τὰ εὐαγγέλια, τὰ ἐπινίκια, τὰ ἐτήσια, τὰ εἰσιτήρια, τὰ κατοικέσια.

to live at home—ἔνδον διατρίβειν.
to be away from home on business—ἀποδημεῖν κατὰ ἐργασίαν, ἐμπορίαν.
to live a conventional life—ἐν τῷ καθεστηκότι (εἰωθότι) τρόπῳ βιοτεύειν, διάγειν.
goods, fixtures, apparatus—ἡ κατασκευή.
mode of life—δίαιτα.
pursuits—ἐπιτηδεύματα.
to have social intercourse with—ὁμιλεῖν, συνεῖναι, συγγίγνεσθαι, συνδιατρίβειν, πλησιάζειν.
neighbours—οἱ ἐχόμενοι, οἱ πέλας, οἱ πλήσιον, οἱ πρόσοικοι.
our social intercourse is unrestrained—ἀνεπαχθῶς τὰ ἴδια προσομιλοῦμεν.
to be a cleverer cook—καλλίον φρονεῖν περὶ ὄψου σκευασίας (*Plat.*)
at dinner—ἐπὶ δείπνῳ, μεταξὺ δειπνοῦντες.
to sing over one's cups—ἐπὶ τῇ κύλικι ᾄδειν.
to drink water to one's food—ἐπὶ τῷ σίτῳ ὕδωρ πίνειν.
about breakfast-time—περὶ ἀρίστου ὥραν.
to recline (for meals)—κατακλίνεσθαι, κατάκειμαι.
light breakfast—ἀκρατισμός.
lunch (about noon)—ἄριστον.
to lunch—ἀριστοποιεῖσθαι.
dinner (about 4 or 5 p.m.)—δεῖπνον.
supper—δόρπον.
to dine together, sharing the expenses—ἀπὸ συμβολῶν δειπνεῖν.
to serve up porridge, fish, bread—παρατιθέναι μᾶζαν, ἰχθῦς, ἄρτον.
to take a siesta—μεσημβριάζων εὕδειν.
clothing himself as a beggar—λαβὼν πτωχικὴν στολήν.
the second storey of a house—τὸ ὑπερῷον.
to knock at the door—κόπτειν, κρούειν τὴν θύραν, κρούειν τὰ ῥόπτρα (the knocker).
the house has a southern aspect—ἡ οἰκία πρὸς μεσημβρίαν ἀναπέπταται.
the foundations are of various kinds of stone—οἱ θεμέλιοι παντοίων λίθων ὑπόκεινται.
furniture—τὰ ἔπιπλα.
the windows—αἱ θυρίδες.
to shut the door—ἐφελκύσασθαι, ἐπισπάσασθαι τὴν θύραν ; cf. ἐπισπαστήρ, a handle.
he slammed the door to with all his might—ὡς οἷός τ' ἦν ἐπήραξε τὴν θύραν (*Plat.*)

to answer the door to some one—ὑπακούειν τινί (*Plat.*)
is the lady of the house at home?—ἆρ' ἔνδον ἡ δέσποινα ;
she is engaged—οὐ σχολὴ αὐτῇ.
at a social gathering—ἐν συνουσίᾳ τινὶ καὶ διατριβῇ, ἐν δείπνῳ καὶ συνόδῳ κοινῇ.
the events of everyday life—τὰ ἐγκύκλια καὶ τὰ καθ' ἡμέραν γιγνόμενα.
in the regular round of duty—ἐν τῇ καθεστηκυίᾳ περιόδῳ.

XIII COMMERCE AND AGRICULTURE.

FARMS—PRODUCE.

those of you engaged in agriculture—οἱ γεωργοῦντες ὑμῶν.
the price of corn fell—ἐπανέστηκεν ὁ σῖτος.
farms bringing in an income of £235—γεωργίαι τάλαντον ἔχουσαι πρόσοδον.
mountain pastures—ἐσχατιαί, φελλεῖς.
plantations (vineyards or orchards)—γῆ πεφυτευμένη.
arable land—γῆ ψιλή.
to grow olive-oil (wine)—γεωργεῖν τὸ ἔλαιον (οἶνον).
to farm—τὴν γῆν ἐργάζεσθαι, θεραπεύειν (*Plat.*)
plants, crops—τὰ ἐκ γῆς φυόμενα.
butter—ἐλαῖον ἀπὸ γάλακτος.
barrenness (thin soil)—τὸ λεπτόγεων.
produce in season—τὰ ὡραῖα.
vine-dressing—ἡ ἀμπελουργική.
Land enough for pasture and tillage—χώρα ἱκανὴ νέμειν τε καὶ ἀροῦν.
to break up land into furrows with the plough—ἀρότρῳ ἀναῤῥηγνύναι (*Herod.*)
cream—τὸ ἐφιστάμενον (γάλα) (*Herod.*)
to reap as one sows (prov.)— αἰσχρῶς μὲν ἔσπειρας κακῶς δὲ ἐθέρισας.
to sow on stony ground (prov. of wasted labour)—σπείρειν εἰς πέτρας τε καὶ λίθους.
to reap barley—κριθὰς θερίζειν.
ground corn—σῖτος ἀληλεσμένος.
to breed horses—ἱπποτροφεῖν.
to tame (an animal)—τιθασεύειν.
to tend flocks (*i.e.*, any four-footed tame animals)—πρόβατα

ποιμείνειν.
when there was a world-wide famine—σιτοδείας παρὰ πᾶσιν ἀνθρώποις γενομένης.

BUSINESS—MANUFACTURES.

the ports are closed—τὰ ἐμπόρια κεκλειμένα ἐστί.
there was much difficulty in selling goods—πολλὴ ἀπρασία ἦν.
manufactures—τὰ δημιουργουμένα (*Plat.*)
business—ἐργασία.
below its value—ἔλαττον τῆς ἀξίας.
to make a profit of ...(metaph.)—ἐργολαβεῖν ἔν τινι ; cf. μισθαρνεῖν.
to have business with—χρηματίζεσθαι, πράττειν, τινὶ περί τινος.
to reap profit from a thing—λῆμα λαβεῖν ἀπό τινος.
to pay by instalments—ταξάμενος ἐκτίνειν ; κατὰ χρόνους ἀποδοῦναι.
in the forenoon—περὶ πλήθουσαν ἀγοράν.
a barber's, leatherseller's, perfumer's shop—κουρεῖον, σκυτοτομεῖον, μυροπώλιον.
a shop—ἐργαστήριον.
he was proprietor of a brass-foundry—ἐκέκτητο χαλκοτύπους.
to melt down a bronze statue—χαλκοῦν ἀνδρίαντα συγχωνεύειν.
mining works—ἐργαστήριον μεταλλικόν.
to get a statue made according to a written contract—ἀνδρίαντα ἐκδιδόναι κατὰ συγγραφήν.
commerce, exchange—ἡ μεταβλητική (sc. τέχνη) (*Arist.*)
wholesale merchants—ἔμποροι.
retail dealers[21]—κάπηλοι.
shopwomen—αἱ ἐπὶ ἐργαστηρίων καθεζόμεναι.
a sample (also warehouse for storing goods)—δεῖγμα.
to hawk, cry salt fish—τὸ τάριχος ἀποκηρύττειν.
the fish-market—οἱ ἰχθῦς, ἡ ἰχθυόπωλις ἀγορά.
market-superintendents—οἱ ἀγορανόμοι.
banking, exchange, money-business—τοκισμός.

---

[21] For the sale of goods in general, cf. *Plat. Rep. ii.* p. 371.

BANKING—EXPORT AND IMPORT.

the bankers—οἱ τραπεζῖται, οἱ ἐπὶ τῶν τραπεζῶν.
to bank with some one—χρῆσθαι τῇ τραπέζῃ τινός.
a deposit at the bank—παρακαταθήκη.
a banker’s account—τραπεζιτικὸς λόγος.
a great deal of money passes through bankers’ hands—οἱ ἐπὶ ταῖς τραπέζαις πολλὰ χρήματα διαχειρίζουσιν.
to exchange gold for silver—χρυσωνεῖν.
banking—τὸ τραπεζιτεύειν.
to change gold for smaller coins—κατακερματίζειν.
false coin—ἀργύριον κίβδηλον (opp. δόκιμον) ; cf. παρακόπτειν.
to embezzle—ὑφαιρεῖσθαί τινός τι ; (of public monies) κλέπτειν τὰ δημόσια, σφετερίζεσθαι.
a forgery (general), a fraud—πλάσμα τι καὶ σκευώρημα.
he forged a seal and opened the letter—παραποιησάμενος σφραγῖδα λύει τὰς ἐπιστολάς.
to forge (a document)—παραχαράττειν ; cf. διαφθείρειν.
a deposit, earnest-money—ἀῤῥαβών, τὸ προτίμιον, ἡ πρόδοσις.
lending money on ships or exported goods, bottomry—ἔκδοσις, τόκοι ναυτικοί.
freight, money paid for transport—ἀγωγῆς μισθός, τὸ ναῦλον.
a loan on freightage for the journey out (and back)—δάνεισμα ἐπὶ ναύλῳ ἑτερόπλουν (ἀμφοτερόπλουν).
[22]$1\frac{1}{2}$ talent (£352)—τρία ἡμιτάλαντα.
[23]$2\frac{1}{2}$ talents—τρίτον ἡμιτάλαντον.
to sail as supercargo—συμπλεῖν διοπτεύων τὴν ναῦν.
exportation—κατακομιδή (lit., bringing down to the sea for export), ἐκκομιδή, ἐξαγωγή, τὸ ἐξεμπολᾶν.
imported corn—σῖτος ἐπείσακτος.
articles of export—τὰ ἐξαγώγιμα (opp. τὰ εἰσαγώγιμα).

---

[22]The true purchasing power of money, the ratio of its value to other commodities, is best shown by actual prices. Thus a *medimnus* of corn cost in 600 B.C. 1 drachma, in 390 B.C. 3 drachmas, in 335 B.C. 5 drachmas, whilst in 328 B.C. a decree of the people fixed the price of a *medimnus* of wheat for offering at the Eleusinian temple at 6 drachmas. Similarly, in 410 B.C. an ox for sacrifice cost 51 drachmas, in 347 B.C. 77 in 329 B.C. 400. Cf. Gilbert, Staats Alt. ii. 369.

[23]The Attic money-table:—

6 ὀβολοί	=	1 δραχμή	=	about a franc.
100 δραχμαί	=	1 μνᾶ	=	about £4.
60 μναῖ	=	1 τάλαντον	=	about £235.
Thus 1 ὀβολός	=	about $1\frac{1}{2}$ d.		

importation—ἀντίληψις, ἐσκομιδή, ἐπαγωγή.
inspectors of corn imports—οἱ σιτοφύλακες.
import duty—φόρος ὁ ἀπὸ τῶν εἰσαγωγίμων φορτίων.
to import corn—σιτηγεῖν.
a bond in acknowledgment of a loan—συμβόλαιον, συγγραφή.
mercantile contracts—τὰ συμβόλαια, τὰ ἐμπορικά ; cf. συνθῆκαι, συγγραφαί.
an acknowledgment, I.O.U.—χειρόγραφον, ἀποχή.
a bond for money lent on freights to Athens—τὰ Ἀθήναζε συμβόλαια.

CREDIT—RATE OF INTEREST.

to settle with, satisfy my creditors—διαλύειν οἱς ὤφειλον.
to become bankrupt—ἀνασκευάζεσθαι, ἐκστῆναι τῶν ὄντων, χρήμασιν ἀπειπεῖν.
to buy on credit—ἐπ' ἀναβολῇ ὠνὴν ποιεῖσθαι.
credit is the soul of commerce—πίστις ἀφορμὴ πασῶν μεγίστη πρὸς χρηματισμόν.
capital—ἡ ἀφορμή ; (as opp. to interest) τὸ τοῦ ἀρχαίου κεφάλαιον.
interest—τόκος.
to borrow (lend) at interest—ἐπὶ τόκῳ δανείζεσθαι (δανείζειν).
the principal—τὸ ἀρχαῖον, τὸ κεφάλαιον.
interest at 1 (2) per cent—ἡ ἑκατοστή (πεντηκοστή).
10 per cent—ἐπὶ πέντε ὀβολοῖς (*i.e.*, five obols per month for every mina), or τόκοι ἐπιδέκατοι (*i.e.* interest at the rate of a tenth).
16 per cent—ἐπ' ὀκτὼ ὀβολοῖς.
$17\frac{1}{4}$ per cent—ἡμιμναῖος τόκος.
12 per cent—ἐπὶ δραχμῇ, or ἐπόγδοοι τόκοι.[24]
20 per cent—τόκος ἐπίπεμπτος.
5 per cent—ἐπὶ τρίτῳ ἡμιοβολίῳ ; cf. εἰκοστή.
to bring in interest—τοκοφορεῖν.
compound interest—τόκοι τόκων, τόκοι ἐπίτοκοι.
the landlord …the tenant—ὁ μισθῶν (ὁ γεωμόρος) …ὁ μισθούμενος (*Dem.*)
a dwelling-house (let to tenants) brings in rent[25]—συνοικία

---

[24]*I.e.*, the interest expressed by the proportion of capital paid as interest *per annum.*

[25]According to Is. ii. 42, land in Thria worth 150 minæ brought in 12 minæ rent, *i.e.*, 8 per cent of the capital, and a farm worth 5000 drachmæ yielded 600 drachma as rent yearly, *i.e.*, 12 per cent. Also a house at Eleusis brought

ναῦλον φέρει.
property bringing in interest—χρῆμα ἐνεργόν (opp. ἀργόν).
real property—ἔγγειος, φανερὰ οὐσία ; cf. ἀγροί, κλῆρος.
to convert real property into money—φανερὰν οὐσίαν ἐξαργυρίζειν ; cf. ἀφανῆ καταστῆσαι τὴν οὐσίαν.
security on movable property—ἐνέχυρον.
security on real property—ὑποθήκη.
property mortgaged—οὐσία ὑπόχρεως.
to mark a house as mortgaged—ὅρον (*a stone slab*) ἐπιστῆσαι ἐπὶ τῆς οἰκίας.
an unencumbered estate—ἄστικτον χώριον.
to borrow (lend) on mortgage—ἀποτιμᾶν.

XIV THE STATE.

OFFICE—POLITICS.

to take up politics—τὰ πολιτικὰ, τὰ δημόσια πράττειν, τὰ τῆς πόλεως μεταχειρίζεσθαι.
the government—οἱ ἐπὶ τοῖς πράγμασι, οἱ προεστῶτες.
the Chancellor of the Exchequer, Treasurer—ὁ ἐπὶ τῆς διοικήσεως (ἐπὶ τῇ διοικήσει), οἱ ταμίαι.
the ministers—οἱ πολιτευόμενοι, οἱ σύμβουλοι, οἱ τὰ κοινὰ πράττοντες.
public conduct, policy—τὰ πεπολιτευμένα ; cf. πολιτεία, τὸ ἐπιτήδευμα.
the commonwealth—τὸ κοινὸν τῆς πόλεως (*Plat.*)
state secrets—ἀπόῤῥητα (*Dem.*)
a cabinet minister—ὁ ἐπὶ τῶν ἀποῤῥήτων.
to direct the course of events—ἀπευθύνειν τὰ πράγματα.
he considers his share of glory less than his success warrants—τὴν δόξαν ἐλάττω ἢ πρὸς τὸ κατόρθωμα νομίζει.
our prestige—τὸ ἀξίωμα τῆς πόλεως.
a statesman with some useful proposal—χρήσιμόν τι ἐσκεμμένος.
you must grapple with your political difficulties—ἀντιληπτέον ὑμῖν ἐστι τῶν πραγμάτων.
he especially excels in military organisation—πρὸς τὰ τοῦ πολέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι πολλῷ προέχει.
there is not the least excuse now for you to refuse to do your duty—οὐδὲ λόγος οὐδὲ σκῆψις ἔθ’ ὑμῖν τοῦ μὴ τὰ δέοντα ποιεῖν ἐθέλειν ὑπολείπεται.

---

in rent at the rate of $8\frac{4}{7}$ per cent of the capital.

you neglect present interests, and think that the future will take care of itself—τὸ μὲν παρὸν ἀεὶ προϊέμενοι τὰ μέλλοντα αὐτόματα οἴεσθε σχήσειν καλῶς.
to be careless, slack—ῥᾳθυμεῖν
we have given Philip unprecedented power—κατεστήσαμεν Φ. τηλικοῦτον ἡλίκος οὐδείς πω βασιλεὺς γέγονε.
it is a statesman's duty to give advice as to the course each juncture demands—τὸ ὑπὲρ τῶν παρόντων ὅ τι δεῖ πράττεσθαι[26] ἀποφαίνεσθαι, τοῦτ' ἔστι συμβούλου.

FINANCE—PUBLIC DUTIES.

the question of finance—περὶ χρημάτων πόρου.
the treasury—τὸ ταμιεῖον.[27]
joint contribution—συντέλεια.
to provide triremes at one's own expense—ἐκ τῶν ἰδίων τριηρεῖς παρασκευάζειν.
regular public services—ἐγκύκλιοι λειτουργίαι, *i.e.*, χορηγία, γυμνασιαρχία, ἀρχιθεωρία, ἑστίασις.
to cut down expenses—ἐς εὐτέλειαν σωφρονίσαι, ξυντέμνειν, συστέλλεσθαι, τὰ ἀναλώματα.
to be flush of money—(χρημάτων) εὐπορεῖν.
to make voluntary contributions—εἰσφέρειν χρήματα.
the Phocians have exhausted their funds—χρήμασιν ἀπειρήκασιν οἱ Φωκεῖς.
our financial resources are great—πολλὰς ἔχομεν χρημάτων ἀφορμάς.
I have something to start with, I have still at my command—ὑπάρχει τί μοι.
they decided on their quota of expense—χρήματα ἐτάξαντο τὸ ἱκνούμενον ἀνάλωμα φέρειν.
our national debt—τὰ δημόσια ὠφελημένα.
our annual expenses—τὰ κατ' ἔτος ἀναλωμένα.
to get revenue from harbour-dues and market-fees—τοὺς λιμένας καὶ τὰς ἀγορὰς καρποῦσθαι ; cf. χώραν καρποῦσθαι.
revenue—πόροι, πρόσοδοι.[28]

26	The orators usually write	ρρ,	where Thuc.	ρσ.
	" "	ττ	"	σσ.
	" "	συν	"	ξυν.
	" "	εἰς	"	ἐς.

[27] In the earlier days of Athens the temples were the chief receptacles of treasure ; hence the important officers known as οἱ ταμίαι τῶν ἱερῶν χρημάτων τῆς Ἀθηναίας, or ταμίαι τῆς θεοῦ.

[28] The *regular* sources of Athenian revenue (as distinct from the *extraordinary* τριηραρχία and εἰσφορά) were as follows : (1) τέλη, duties ; (2) τιμήματα,

he will find very great difficulty in obtaining supplies for his mercenaries—εἰς στενὸν κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις αὐτῷ καταστήσεται.
tax-farmers—τελῶναι.
tax-collectors—ἐκλογεῖς.
a politician guilty of embezzlement of the public funds—ῥήτωρ ὁ κλέψας τὰ τῆς πόλεως.
import and export duties (2 per cent)—ἡ πεντηκοστή.
both our home and foreign policy are unsatisfactory—τά τε ἐνθάδε πράγματα καὶ τὰ ἔξωθεν ἐν πάσῃ ἀπορίᾳ ἐστί.
those of Philip's party { οἱ Φιλιππίζοντες. / οἱ τὰ Φιλίππου φρονοῦντες.
to enter on a new line of policy—καινόν τι ἐπιτήδευμα ἐνστῆσαι.
we have been successful—πολλὰ τροπαῖα ἡ πόλις ἔστησεν, πάντα προὐχώρησεν ἡμῖν.
those in authority, the magistrates—οἱ ἄρχοντες, οἱ ἐν τέλει (ὄντες), οἱ ἐν ἀξιώματι ὄντες, οἱ πολιτεύομενοι.

CONSTITUTION—REVOLUTION.

the present constitution—τὰ νυνὶ καθεστῶτα.
Draco introduced some salutary changes in the administration of criminal justice—ὁ Δράκων ἔστιν ἃ εὖ ἐνεωτέρισεν περὶ τοῦ τοὺς ἀδικοῦντας δικάζειν.
to be of revolutionary tendency—νεωτερίζειν, νεωτεροποιὸς εἶναι.
caring nothing for the specious autonomy of the Athenians—τὴν ἀπὸ τῶν Ἀθ. ὕπουλον αὐτονομίαν οὐ προτιμήσαντες.
one period of civil strife was followed by another—μόλις δὲ ἡσυχάσαντες ἐστασίαζον πάλιν.
to be the victim of a conspiracy—καταστασιασθῆναι.
the city is in an independent position—ἡ πόλις αὐτάρκη θέσιν κεῖται.
their constitution was a close oligarchy, not a republic—δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο.
they welcomed the reform of their constitution—ἀσμένοις ἐγένετο ἡ μετάστασις τοῦ κόσμου (τῆς πολιτείας).
he caused many innovations—πολλὰ ἐνεόχμωσεν.
to give them their independence—αὐτονόμους ποιεῖν.
to have equal rights—τῆς ἴσης καὶ ὁμοίας μετέχειν.

---

fines ; (3) φόροι, tribute from allies ; (4) λειτουργίαι ἐγκύκλοι, regular public burdens, e.g. χορηγία, γυμνασιαρχία.

hereditary monarchies with defined privileges—ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βεσιλεῖαι.
to choose a line of policy—προαιρεῖσθαι (inf.)
to establish an oligarchy in Sicyon—τὰ ἐν Σικιῶνι ἐς ὀλίγους καταστῆσαι.
to follow a retrograde policy—τὰ ἀρχαῖα ποθεῖν.[29]
what policy he pursues—εἰς τίνα τάξιν ἑαυτὸν ἔταξεν οὗτος ἐν τῇ πολιτείᾳ.
his public acts and speeches—τὰ πεπραγμένα καὶ δεδημηγορημένα ; cf. τὰ πεπολιτευμένα.
the position of affairs has improved—τὰ τῆς πόλεως ἐκ φαύλων χρηστὰ γέγονε.
to outdo in diplomacy—καταπολιτεύεσθαί τινα.
tributary subjects—ὑποτελὴς φόρου, δασμοφόρος.
those in office—οἱ ἐφεστηκότες, προεστηκότες, οἱ ἐν τέλει, οἱ τὴν ἀρχὴν ἔχοντες, οἱ τὰ τέλη ἔχοντες.
the office (power) devolves on—ἡ ἀρχὴ (ἡ δύναμις) ἀφικνεῖται, καταβαίνει εἴς τινα.
the city enjoys goods laws—εὐνομεῖται ἡ πόλις.
in accordance with hereditary usage—καθ’ ὃ πάτριόν ἐστι.
they were enfranchised—ἐπίτιμοι ἐγένοντο.
the common weal—τὰ κοινά.
those who take part in politics—ὅσοι πρὸς τὰ κοινὰ προσέρχονται, οἵ τι τῶν κοινῶν πράττοντες.
to get one’s accounts audited—εὐθύνας διδόναι, ὑποσχεῖν (before the εὔθυνοι).
liable to give an account, responsible (of an official at expiry of office)—ἔτι ὑπεύθυνος (opp. ἀνυπεύθυνος).

INTRIGUE—LEGISLATION.

to bribe—διαφθείρειν (ὑπὸ χρημάτων), δωροδοκεῖν.
without bribery—ἀδωροδοκήτως.
corrupt, venal—κρείττων χρημάτων.
having sold himself—διεφθαρμένος καὶ πεπρακὼς ἑαυτὸν ; cf. μισθώσας ἑαυτόν.

---

[29]The different Greek words for *old* may thus be distinguished by comparison with the Latin :—παλαιός=*vetus* ; παλαιοὶ φίλοι, παλαιὸς οἶνος=“what has long existed and still exists.” Opposite, νεός ; cf. πάλαι. ἀρχαῖος=*antiquus*, and *priscus* (opposite καινός)= “what existed long ago at the beginning,” ” original,” *e.g.*, τὸ ἀρχαῖον, “the original sum,” ”capital ; ” Σόλων γέγραφεν ἀρχαίως=“in the fashion of the good old times.” Similarly—ἀρχαιότης=“antiquity,” παλαιότης= “age.” πρότερος=*pristinus*, “former” ; ἡ προτέρα δημοκρατία. πρέσβυς, πρεσβύτης, γέρων= *senex*.

those intriguing with the Athenians—οἱ πρὸς τοὺς Α. πράττοντες.
the people of Acanthus decided by a majority to secede—οἱ δ’ Ἀκάνθιοι ἔγνωσαν οἱ πλείους ἀφίστασθαι τῶν Ἀθηναίων.
we are aware that to people like us a democracy is unwelcome—γιγνώσκομεν τοῖς οἵοις ἡμῖν χαλεπὴν οὖσαν τὴν δημοκρατίαν.
party-spirit ran high in the city, and there was much contention—κατὰ ξυστάσεις γενόμενοι οἱ πολῖται ἐν πολλῇ ἔριδι ἦσαν.
our state enjoys a constitution which has nothing to learn from that of neighbouring nations—χρώμεθα πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους.
a bill before Parliament—ἐξήγημα ; cf. ἐξηγεῖσθαι.
to get one’s proposal carried—ψήφισμα νικᾶν (so γνώμην, δίκην νικᾶν).
the Speaker asked strangers to withdraw—ὁ ἐπιστάτης μετεστήσατο τοὺς ἰδιώτας.
Parliament met—ἐγίγνετο ἐκκλησία ; οἱ Ἀθηναῖοι ἐκκλησίαν ἐποίησαν.
the Senate-house, Houses of Parliament—τὸ βουλευτήριον ; in small towns—τὸ ἀρχεῖον.
to propose an amendment—παρεισφέρειν, ἀντεισφέρειν, παραγράφεσθαι.
to make a proposal to the House—εἰσφέρειν περί τινος εἰς τὰς βουλάς.
the meeting was adjourned—ἡ ἐκκλησία ἀνεβλήθη.
Parliament rose—οἱ Ἀθηναῖοι διελύθησαν ἐκ τοῦ ξυλλόγου.
to start on an embassy—ἀπαίρειν πρεσβείαν, οἴχεσθαι πρεσβεύων.
to vote—χειροτονεῖν, ψῆφον φέρειν (τίθεσθαι, ψηφίζεσθαι) γνώμην ἀποφαίνειν.
to put to the vote—ἐπιψηφίζειν τι, ψῆφον ἐπάγειν (προτιθέναι) ἐπιχειροτονεῖν, προτιθέναι τὴν διαψήφισιν.
public records, archives—συγγράμματα δημόσια.
the depository of the state-archives (lit., Cybele’s temple)—τὸ Μητρῷον ; cf. τὸ ἀρχεῖον, τὸ δημόσιον.
keeper of the records—γραμματοφύλαξ.

XV LAW AND JUSTICE.

CONVICTION—PENALTY.

to exact a penalty—δίκην λαβεῖν, πρᾶξαι.
to obtain one's rights—τυχεῖν τῶν δικαίων (opp. ἀποτυχεῖν).
pardonable—εἰκότως ἂν συγγνώμης τύχοι.
to plead, fight a case—ἀγωνίζεσθαι.
to plead on behalf of—συνηγορεῖν τινι.
the contrary vote—ἡ ἐναντία (ψῆφος).
to put a price on a man's head—χρήματα ἐπικηρυκεύειν τινί.
the people condemned him to death—κατεχειροτόνησεν θάνατον αὐτοῦ ὁ δῆμος ; cf. καταψηφίζεσθαι καταγνῶναι.
to stone to death—καταλεῦσαι, καταπετρόω.
to execute—θανάτῳ ζημιῶσαι.
the executioner—ὁ δημόσιος (sc. δοῦλος) ; ὁ ἐπὶ τῷ ὀρύγματι.
on condition that they were not put to death—ἐπὶ τῷ μὴ ἀποθανεῖν.
to be the defendant on a capital charge—θανάτου δίκην φεύγειν.
to be reckoned among, to side with …—ἐξετάζεσθαι μετὰ.
they are proved to have been accomplices of Philip—ἐξελέγχονται συναγωνισάμενοι Φιλίππῳ.
to punish with exile (a fine)—ζημιοῦν τινα φυγῇ (χρήμασι).
to be thrown into prison by some one—εἰς εἱρκτὴν εἰσπίπτειν ὑπό τινος.
to put out of the way, remove a person—ἀναιρεῖν, ὑπεξαιρεῖν, κρύφα ἀποκτείνειν.
to banish—μεταστήσασθαι (*Thuc.*), ἐκβάλλειν.[30]
to be banished—τῆς πατρίδος στέρεσθαι, ἐκπίπτειν.
to summon as a witness (cf. *antestari*)—κλητεύειν.
banishment would be a most pre-eminently suitable punishment for him—μονώτατος δ' ἂν προσηκόντως ἐξορισθείη τῆς πατρίδος.
caught in the act—ἐπ' αὐτοφώρῳ ληφθείς.
to speak the truth as the result of torture—ἐκ βασάνου τἀληθὲς λέγειν.
to convict of theft—αἱρεῖν (ἑλεῖν) τινα κλέπτοντα.
those who have got a conviction—οἱ ἑλόντες (opp. οἱ

[30] The many various meanings of βάλλω when compounded are noticeable—*e.g.*, ἐκβάλλω, expel ; εἰσβάλλω, invade ; προσβάλλω, attack ; περιβάλλω, surround ; διαβάλλω, calumniate ; μεταβάλλω, change ; ἀναβάλλω, put off ; παραβάλλω, hazard.

ἑαλωκότες, those convicted).

LEGAL PROCEDURE—EVIDENCE—INFORMATION.

unwritten laws, decrees—ἄγραφα δόγματα.
advocates, barristers—οἱ παράκλητοι, οἱ συνήγοροι.
the police—οἱ τοξόται, οἱ Σκύθαι ; cf. οἱ ἕνδεκα.
counsel for the defence—σύνδικος (opp. συνήγορος, counsel for the prosecution).
the prosecutor, pursuer—ὁ διώκων.
the defendant—ὁ κρινόμενος ; cf. οὑτοσί.
he has got many opportunities for upsetting his adversary—πολλὰς ἀφορμὰς ἔλαβε τοῦ τὸν ἀντίδικον ῥᾳδίως ὑποσκελίσαι.
to speak on a man's behalf—λέγειν [31] ὑπέρ τινος.
to speak at some length—λόγους μηκύνειν.
to bring to trial—κρίνειν τινά.
to get leave to sue a person—δίκην λαγχάνειν τινί.
to arrest—ξυλλαβεῖν, ἀπάγειν (= summarily ; cf. ἀπαγωγή).
to accuse, summon, sue—κατηγορεῖν, αἰτιᾶσθαι, προκαλεῖσθαι, διώκειν, ἐπεξιέναι, γράφεσθαι, εἰσάγειν (εἰς τὸ δικαστήριον) τινά τινος.
litigious, a busybody—φιλοπράγμων.
to bring a false accusation, to blackmail—συκοφαντεῖν.
to refer to an arbitrator—μέσῳ δικαστῇ (διαιτητῇ) ἐπιτρέπειν, δίαιταν ἐπιτρέπειν τινί.
the present case—ὁ νῦν ἐνεστηκὼς ἀγών.
responsible for, guilty of, liable—αἴτιος, ὑποαίτιος, ἔνοχος, ὑπόδικός τινος.
to make oneself responsible, take the blame upon oneself—τὴν αἰτίαν ἀναδέχεσθαι, εἰς αὑτὸν ποιεῖσθαι.
to be condemned to pay ten talents—δέκα τάλαντα ὀφλεῖν.
on bail—ἐξηγγυημένος

[31] Cf. λόγος, "a speech"; distinguish λέγειν=*dicere*, "say," "tell," usually referring to the content of what is said. Cf. οὐδὲν λέγεις, "there's nothing in what you say." Under the same head come εἰπεῖν and ἐρεῖν. φθέγγεσθαι=Lat. *loqui*, is the expression for the human voice in its manifold variety. φωνεῖν implies a raised or resonant voice or tone, thus φωνή, "the voice," "tone." φημί=*aio*, with less reference to the true meaning than the preceding. Cf. τί φημι ; as *formula admirantis*. φάσκω= "say frequently," "allege," often of what is not true. Cf. *dictito*, sometimes. φράζειν="point out," "tell." λαλεῖν=*sermocinari*, "chatter," "talk." διαλέγεσθαι=*colloqui*, "converse." Similarly, διάλεκτος=*sermo*, "conversation" ; λέξις=*dictio*, "style"; λόγος=*oratio* ; ῥήτωρ=*orator* ; ῥητορικὴ τέχνη=*ars dicendi.*

I am certain our opponents can bring no counter-plea—οὐδέν, οἶδ' ὅτι,[32] ἕξουσιν οἱ ἐναντίοι δικαιολογεῖσθαι.
they gave false evidence against their master—τὰ μὴ ὄντα τοῦ αὐτῶν δεσπότου κατεψεύσαντο.
to give information against—μηνυτὴς κατά τινος γίγνεσθαι.
reward for information—τὰ μήνυτρα.
to be liable, because of having passed the prescribed time-limit—ὑπερήμενος γίγνεσθαι.
wherever the Athenians have no rights of reprisal—ὅπου ἂν μὴ σῦλαι ὦσιν τοῖς Ἀθηναίοις.
granting an amnesty to the rest—τοῖς ἄλλοις οὐ μνησικακοῦντες.
legal order was at an end—νόμοι πάντες ξυνεταράχθησαν.
to act illegally in public matters—εἰς τὰ δημόσια παρανομεῖν.
the law has exactly defined this under a specific term—τοῦτο ὁ νόμος σφόδρα περιείληφεν ἑνὶ ὀνόματι προσαγορεύσας.
they would not proceed to extremities without unequivocal proofs—μὴ ἄνευ ἀναμφισβητήτων τεκμηρίων ἤθελον βουλεῦσαί τι ἀνήκεστον.
deprived of the power of defending himself—ὁ τὴν ἐξουσίαν τῆς ἀπολογίας περιῃρημένος.

XVI MILITARY MATTERS.

THE ARMY—ITS DIVISIONS.

to realise in time the uncertainty of war—τοῦ πολέμου τὸν παράλογον ὅσος ἐστὶ προδιαγνῶναι.
the war had not yet broken out—ὅ γε πόλεμος οὔπω ξυνεῤῥώγει.
they have lost the flower of the army—τὸ κράτιστον τῆς στρατίας, ὅτι ἦν αυτῶν ἄνθος, ἀπολώλει.
troops of distinguished valour—οἱ ἀρετῇ πρωτεύοντες.
the cavalry—ἡ ἵππος, τὸ ἱππικόν, οἱ ἱππεῖς, οἱ ἀφ' ἵππων μαχόμενοι.
the heavy-armed troops—οἱ ὁπλῖται, τὸ ὁπλιτικόν.
the light-armed troops—οἱ πελτασταί, οἱ ψιλοί, τὸ πελταστικόν, οἱ γυμνῆτες, ἡ γυμνητεία.
javelin-men—ἀκοντισταί.
to desert—αὐτομολεῖν, αυτόμολος γίγνεσθαι.
a cavalry-troop—εἴλη.

---

[32] For οἶδ' ὅτι, parenthetical, cf. δῆλον ὅτι, frequent in Demosthenes.

cavalry-general—ἵππαρχος.
the total number of the cavalry with the force was almost 1000—ἱππῆς δὲ οἱ πάντες ἠκολούθουν ὀλίγου ἐς χιλίους.
slingers—σφενδονῆται.
leaden sling-bullets—μολυβδίδες.
a company—λόχος (from 24 to 100 men).
captain of company—λοχαγός
to maintain mercenaries—ξενοτροφεῖν.
mercenary troops—οἱ μισθοφόροι, οἱ μισθοφοροῦντες.
to fight a decisive battle—περὶ τῶν ἁπάντων ἀγωνίσασθαι.
to fight as volunteers—ἐθελοντηδὸν στρατεύειν.
a despatch in cipher (lit., Spartan general's staff, round which the despatch was wound and written ; it could only be read by some one possessing an exactly similar staff)—ἡ σκυτάλη.
bearers, camp-followers—οἱ σκευοφόροι, οἱ ἀκόλουθοι.
baggage animals—ὑποζύγια σκευοφόρα.
to go to war—ἐς πόλεμον καταστῆναι, πόλεμον ξυνάπτειν πρὸς.

A SIEGE—FORTIFICATION.

to attack the city at the most easily assailable point—προσβάλλειν τῇ πόλει κατὰ τὸ ἐπιμαχώτατον (εὐπροσοδώτατον).
a frontier-fort, fort for offensive purposes—ἐπιτείχισμα.
military works—ἔρυμα, τό.
easy of circumvallation—εὐαποτείχιστος.
to surround with a rampart—ἀποταφρεύειν.
to set guards in the forts—φυλακὴν ἐφιστάναι (καθιστάναι) εἰς τὰ ἐρύματα.
a mantlet, pent-house— Χελώνη.
a battering-ram—κριός (ὁ).
they used skins and rough hides as screens—παρακαλύμματα εἶχον δέῤῥεις καὶ διφθέρας.
artillery—μηχαναί—*e.g.*, κατάπελται, πετροβόλος, ἀφετήρια ὄργανα.
though they employed every device, they were unable to take the city—τὴν πόλιν πᾶσαν ἰδέαν πειράσαντες οὐκ ἐδύναντο ἑλεῖν.
they brought a siege-train against Potidæa—μηχανὰς τῇ Ποτιδαίᾳ προσέφερον, προσῆγον.
their attempt to take the city did not succeed—οὐ προὐχώρει αὐτοῖς ἡ αἵρεσις τῆς πόλεως.

owing to the cold drenching rains which fell with little intermission, the situation of the besieged was disastrous in the extreme—τοῖς ἀποτειχισθεῖσιν ὑετῷ ψυχρῷ μόνον οὐ ξυνεχῶς καταβρεχομένοις εἰς ἔσχατα τῆς δυστυχίας περιειστήκει τὰ πράγματα.

besiege, blockade—{ πολιορκεῖν / περιτειχίζειν / τειχήρεις ποιεῖν } τινας,
περιφρουρεῖν, κύκλῳ περιστῆναι, προσκαθέζεσθαι πόλιν.
unable to carry on a siege—τειχομαχεῖν οὐ δυνατοί.
to storm—προσβάλλειν τῷ τείχει, κατὰ κράτος (βίᾳ) ἑλεῖν τὴν πόλιν, ἐσδραμὼν ἑλεῖν.
to blockade by sea—ἐφορμεῖν τινι.
a blockade, besieging—προσεδρεία.
to blockade by land and sea—κατὰ γῆν τε καὶ θάλασσαν πολιορκεῖν, ναῦσί τε ἅμα καὶ πέζῳ.
to demolish the walls—τὰ τείχη κατασκάπτειν.
a breastwork—ἔπαλξις.
to throw up earthworks—χῶμα χέειν.
walls round a city—οἱ περίβολοι τῆς πόλεως.
shut in within the palisade—καθειργμένοι ἐν τῷ σταυρώματι.
a mine—ὁ ὑπόνομος.
to take at the first rush—αὐτοβοεὶ ἑλεῖν.
to make a sally—ἐκδραμεῖν, ἐπεκδρομὴν ποιεῖσθαι.
the breach in the wall—τὸ διῃρημένον τοῦ τείχους.
wherever the rocks on the island allowed a passage—κατὰ τὸ ἀεὶ παρεῖκον τοῦ κρημνώδους τῆς νήσου (προσβαίνων).
they took off the roof and barricaded the doors—τὸν ὄροφον ἀφεῖλον καὶ τὰς θύρας ἀπωκοδόμησαν.
to repair a wall—τεῖχος ἐπισκευάζειν.
he dismantled and razed Lecythus—τὴν Λήκυθον καθελὼν καὶ ἀνασκευάσας τέμενος ἀνῆκεν ἅπαν.
they razed the long walls to the ground—τὰ μακρὰ τείχη κατέσκαψαν ἑλόντες ἐς ἔδαφος.
they sent guards to the stations at short notice—φύλακας ὡς ἐξ ὀλίγου διέπεμψαν.
they worked by relays—διάδοχοι ἐφοίτων ἐπὶ τὸ ἔργον ; cf. ἀναπαύοντες ἐν τῷ μέρει, διῃρημένοι κατὰ ἀναπαύλας.
to fortify a position—κρατύνειν χωρίον, ἐχυροῦν, (περι)-τειχίζειν, ἐρυμνοῦν, ἐρύματα περιβάλλειν τινί.
they raised a palisade where necessary—ἀπεσταύρουν εἴ πῃ δέοιτό τι.
to fortify the city with a palisade and fosse—χαρακοῦν καὶ ταφρεύειν τὴν πόλιν.

down hill, downwards—εἰς τὸ κάταντες.
up hill—πρὸς ὄρθιον (ἰέναι).
the dwellers on the coast—οἱ κάτω.
occupying the high ground—τῶν χωρίων τὰ μετεωρότατα λαβόντες.
the strongest positions in the district—τὰ κράτιστα τῆς χώρας.
the neighbouring nations—τὰ κύκλῳ ἔθνη.
they took Acragas by long blockade—λιμῷ εἶλον Ἀκράγαντα.
to surround with a rampart about six feet high—περιβάλλειν (τινὶ) σταύρωμα ὡς ἀνδρόμηκες ὄν.
they were within a night of taking Eion—τὴν Ηϊόνα παρὰ νύκτα ἐγένετο λαβεῖν.
Descriptions of Sieges—

Thuc.	VII.	43, 44.
"	IV.	26, 29-30—Sphacteria.
"	VII.	48, 69.
"	VI.	102.
"	II.	75, 77.
Xen.	Anab.	2, 3, 11.
Arrian,	An.	2, xv.
"	An.	20, 2-23—Halicarnassus.

Blockade, Thuc. VII. 70-71—blockade of Syracuse by sea.
Arrian, An. 2, xv. 6-24.

THE ATTACK CLOSE—QUARTERS.

to raise a war-chant—παιᾶνα ἐξάρχειν.
to make a pretended attack—ὅσον ἀπὸ βοῆς ἕνεκεν προσβάλλειν (*i.e.*, with a war-cry, but nothing more).
to invade—ἐμβάλλειν, εἰσβάλλειν, εἰσβολὴν ποιεῖσθαι εἰς, ἐπιστρατεύειν τινί (or εἴς τινα), στρατείαν ποιεῖσθαι, ὅπλα ἐπιφέρειν ἐπί τινα.
to engage, begin the fight—μάχην ξυνάπτειν, ἔργου ἔχεσθαι, ξυμμιγνύναι τινί, προσμιγνύναι, ξυνιέναι, ξύνοδον ποιεῖσθαι.
the attack was sounded—οἱ σαλπιγκταὶ ξύνοδον ἐπώτρυνον τοῖς ὁπλίταις.
when the bugle sounded—ἐπεὶ ἐσάλπιγξε (sc. ὁ σαλπιγκτής), ἐπεὶ ἐσήμηνε τῇ σάλπιγγι.
to give the word, command—παραγγέλλειν.[33]

---

[33]The various Greek words for order, tell, &c., may be thus distinguished :—κελεύω=*jubeo*, bid, tell ; comparatively weak, often of a mere suggestion ; cf.

according to military orders—κατὰ τὰ παρηγγελμένα, τὰ παραγγέλματα.
to pass the watchword from man to man—παραγγέλλειν τὸ ξύνθημα.
according to agreement—ἀπὸ τοῦ ξυγκειμένου, ὥσπερ ξυνέκειτο.
